2 Ιουλίου 2014

# Κατάθεσις της Τιμίας Εσθήτος της Θεοτόκου

/ Συναξαριακές Μορφές



*Κατάθεσις της Τιμίας Εσθήτος της Θεοτόκου*

Εορτάζει στις 2 Ιουλίου εκάστου έτους.

Χιτὼν μὲν Υἱοῦ Χριστοφρουροῖς δημίοις.
Ἐσθὴς δὲ Μητρὸς χριστοφρουρήτῳ πόλει.
Δευτερίῃ κατέθεντο σορῷ Ἐσθῆτα Πανάγνου.

**Βιογραφία**
Στο ναό των Βλαχερνών, που είχε κτίσει η βασίλισσα Πουλχερία, κόρη του αυτοκράτορα Αρκαδίου και σύζυγος του αυτοκράτορα Μαρκιανού (451 – 457 μ.Χ.), είχαν κατατεθεί τα σπάργανα (εντάφια) της Θεοτόκου, τα όποια είχαν σταλεί από τον Πατριάρχη Ιεροσολύμων Ιουβενάλιο ( ίδια ημέρα). Όταν δε ήταν αυτοκράτορας ο Λέων Α’ ο Θράξ (457 – 474 μ.Χ.), οι πατρίκιοι Γάλβιος και Κάνδιδος έφεραν από τα Ιεροσόλυμα και την τίμια εσθήτα της Υπεραγίας Θεοτόκου. Ο Λέων την παρέλαβε και την κατέθεσε στο ναό των Βλαχερνών, μέσα σε χρυσή λάρνακα.

Η εσθήτα αυτή υπήρχε μέσα στο ναό των Βλαχερνών μέχρι το έτος 820 μ.Χ. Αλλά ο ναός αυτός το 1070 μ.Χ. κάηκε και κατόπιν, αφού ανοικοδομήθηκε, από απροσεξία ξανακάηκε στις 19 Ιανουαρίου του 1434 μ.Χ. Βέβαια, πάντα τα τίμια αντικείμενα της Υπεραγίας Θεοτόκου γίνονται αφορμή στους αγωνιζόμενους χριστιανούς να μιμηθούν την αρετή της. Και όπως, λοιπόν, αυτή «διετήρει πάντα τὰ ρήματα (τοῦ Κυρίου) ἐν τῇ καρδίᾳ αὐτῆς» (Λουκά, θ’ 51.), διατηρούσε, δηλαδή, τα λόγια του Υιού της βαθειά χαραγμένα στην καρδιά της, έτσι ας κάνουμε κι εμείς.

**Ἀπολυτίκιον**
Ἦχος πλ. δ’.
Θεοτόκε ἀειπάρθενε, τῶν ἀνθρώπων ἡ σκέπη, Ἐσθῆτα καὶ Ζώνην τοῦ ἀχράντου σου σώματος, κραταιὰν τῇ πόλει σου περιβολὴν ἐδωρήσω, τῷ ἀσπόρῳ τόκῳ σου ἄφθαρτα διαμείναντα, ἐπὶ σοὶ γὰρ καὶ φύσις καινοτομεῖται καὶ χρόνος, διὸ δυσωποῦμέν σε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**Ἕτερον Ἀπολυτίκιον (Κατέβασμα)**
Ἦχος γ’. Θείας πίστεως.
Θεῖον ἔνδυμα, τῶν οἰκτιρμῶν σου, καὶ ἱμάτιον ἀθανασίας, τὴν ἁγίαν σου Ἐσθῆτα καὶ ἄφθαρτον, τῇ κληρουχίᾳ σου Κόρη δεδώρησαι, εἰς περιποίησιν πάντων καὶ σύναψιν. Ὅθεν Ἄχραντε, τὴν θείαν αὐτῆς κατάθεσιν, τιμῶντες εὐσεβῶς σὲ μεγαλύνομεν.

**Κοντάκιον**
Ἦχος δ'. Ὁ ὑψωθείς.
Περιβολὴν πᾶσι πιστοῖς ἀφθαρσίας, θεοχαρίτωτε Ἁγνὴ ἐδωρήσω, τὴν Ἱερὰν Ἐσθῆτά σου, μεθ᾽ ἧς τὸ ἱερόν, σῶμά σου ἐσκέπασας, σκέπη πάντων ἀνθρώπων, ἧς περ τὴν κατάθεσιν, ἑορτάζομεν πόθῳ, καὶ ἐκβοῶμεν φόβῳ σοι σεμνή· Χαῖρε Παρθένε, Χριστιανῶν τὸ καύχημα.

**Κάθισμα**
Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Οἱ τῶν θαυμάτων ποταμοὶ Θεοτόκε, ἐκ τῆς πανσέπτου σου σοροῦ προερχόμενοι, ὡς ἐξ Ἐδὲμ ποτίζουσι τὸ πρόσωπον τῆς γῆς, χάριτας προχέοντες, τοῖς πιστῶς σε τιμῶσιν· ὅθεν ἀνυμνοῦμέν σε, καὶ σεπτῶς εὐφημοῦμεν, καὶ εὐχαρίστως κράζομεν ἀεί· Χαῖρε ἡ μόνη, ἐλπὶς τῶν ὑμνούντων σε.

**Ὁ Οἶκος**
Τὴν καθαρὰν καὶ ἀληθῆ σκηνὴν τοῦ Θεοῦ Λόγου, τὴν ἔμψυχον νεφέλην, καὶ στάμνον τὴν τοῦ Μάννα, τὴν Θεοτόκον Μαριάμ, πάντες οἱ σωθέντες διὰ τοῦ τόκου αὐτῆς ἐν πίστει μακαρίσωμεν, καὶ τὴν σεπτήν, Ἐσθῆτα προσπτυξώμεθα, ᾗπερ τὸν Δεσπότην περισχοῦσα, ὡς βρέφος ἐβάστασε φορέσαντα σάρκα, δι' ἧσπερ τῶν βροτῶν ἡ φύσις ἐπήρθη πρὸς μετάρσιον ζωὴν καὶ βασιλείαν· ὅθεν γεγηθότες, κραυγάζομεν μεγαλοφώνως· Χαῖρε Παρθένε, Χριστιανῶν τὸ καύχημα.

**Μεγαλυνάριον**
Τῆς ἀθανασίας τὸν χορηγόν, τέξασα Παρθένε, ἠθανάτισας τὸν Ἀδάμ· τοῦτο γοῦν δηλοῦσα, ἡ ἄφθαρτος Ἐσθής σου, φθορᾶς παθῶν λυτροῦται, τοὺς προσπελάζοντας.

Οπτικοακουστικό Υλικό

Ακούστε το απολυτίκιο!



*Κατάθεσις της Τιμίας Εσθήτος της Θεοτόκου*




*Κατάθεσις της Τιμίας Εσθήτος της Θεοτόκου*

**Πηγή:** [saint.gr](saint.gr)